δέ τινος ἔτι προσθεῖναι βούλομαι πρῶτον, οἷς ἔναγχος προεθέμην· οὐκ ὀρθῶς γὰρ δοκοῦσί μοι οἱ πλεῖστοι τῶν ἰατρῶν οὔτε πειρᾶσθαι τῶν φαρμάκων, οὔτε συλλογίζεσθαι περὶ τῆς δυνάμεως αὐτῶν::

πῶς καὶ τίνα τρόπον χρὴ ἀποπειρᾶσθαι τῆς ἑκάστου τῶν φαρμάκων δυνάμεως:

β

Πειρᾶσθαι μὲν χρὴ τῶν εἰρημένων δυναμένων καὶ ἔξω πάσης ἐπικτήτου ποιότητος· ἐπὶ μὲν γε τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος πρῶτον· ἐφεξῆς δὲ καὶ ἐπὶ τῶν δυσκράτων· εἶθ' οὕτως ἐπὶ τῶν ἁπλῶν νοσημάτων ὡς ἔν τε τῷ πρὸ τούτου λόγῳ καὶ τῷ τρίτῳ περὶ κράσεων εἴρηται· οὐ μὴν ἐξαρκεῖ ὁ τὸ κατὰ συμβεβηκὸς ἀφορίζοντας· τοῦ πρώτως τε καὶ καθ' αὐτό:

ὅτι οὐ μόνον περὶ τὴν δύναμιν τῶν φαρμάκων διαφωνοῦσιν οἱ ἰατροί· ἀλλὰ καὶ περὶ τὰς τῶν παθῶν δόξας —

γ

Ἐσφάλλονται δ' ἔνιοι τῶν ἰατρῶν· οὐ περὶ τὰ φάρμακα μόνον· ἀλλὰ καὶ ταῖς περὶ τῶν παθημάτων δόξαις· αὐτίκα γοῦν, ὅτι μὲν ἴαμα κόπων ἐστὶν, ἅπαντες σχεδὸν ὁμολογοῦσιν· ὁποῖον δέ τι πάθος ὁ κόπος ἐστὶν, οὐκ ἔτι ὁμολογοῦσιν· ὁ μὲν τις γὰρ ξηρότητα τῶν ἄρθρων εἶναί φασιν, ἐξικμαζομένων ἐν ταῖς κινήσεσιν· οἱ δέ τις καὶ τῶν μυῶν προστιθέασιν· ἕτερος δέ τις ξύμπαντος τοῖς ὑγροῖς τινα πολλὴν καὶ τάσιν καὶ θερμασίαν, ἐπιγενομένων τοῖς σφοδρῶς κινηθεῖσι μορίοις· ἄλλος δ' οὐ πλῆθος ὑγρῶν ἀλλὰ ποιότητα μόνην αἰτιᾶται· ἐγὼ δέ τινας φαμένους ἐν ταῖς ἀμέτροις κινήσεσι γίνεσθαι· πνεῦμα δέ τι ἀτμῶδες καὶ θερμὸς ἀτμηρός· ὧν μέρος μέντοι διαπνεῖσθαι ἐκτός· μέρος δ' ἴσχεσθαι κατὰ τὸ σῶμα· καὶ τοῦτο δριμὺ καὶ δακνῶδες ὑπάρχον τὴν οἷον ἡλκώδη συμφωνεῖται· τὸ δέ γε τῆς διαθέσεως τοῦ σώματος ἀμφισβητούμενον, οὐδ' ἕνα συλλογίζεσθαι τρόπον ὑπὲρ ἡμᾶς δυνάμεως· οὐ μόνον δὲ ἐπὶ κόπου τοῦτο συμβέβηκεν, ἀλλὰ καὶ περὶ παντὸς ἀλγήματος ἢ δήξεως ἐν σκέλει ἢ φλεγμονῆς ἕλκους πολὺ ζητοῦμεν· ὁ δ' ἄλλος ἐγχεόμενον ἢ καταπλαττόμενον· ἐπὶ μὲν γὰρ τῶν φλεγμονούντων ἑλκῶν οὐ μόνον, ἀλλὰ μετὰ τοῦ ὕδατος θερμοῦ, συμμέτρως αὐτὸ καταχεόμενον· ὥσπερ ἐν τοῖς κόποις ἅμα τοῖς διὰ τῶν γλυκέων ὑδάτων λουτροῖς· ὁμολογεῖται δ' οὐδ' ἐπὶ τῆς φλεγμονῆς ἡ διάθεσις ὁποία τίς ἐστιν· εὐκαίρως ὁ διὰ τῆς θερμῆς ἢ ποτίζον, οὐδὲ οὕτω γὰρ τότε γινώσκομεν ἐναργῶς· ὁποίῳ τινὶ σώματι προσφερόμενον αὐτό· πότερα φλέγματος, ἢ χολῆς· ἢ τινῶν ἄλλων περιττωμάτων μικτῶν· δῆλον γάρ, ὡς οὐχ ὁμοίως διατίθησι

ὑγρότητος

ἑλκώδη